# ΟΡΘΡΟΣ




## ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## ΕΙΣ ΤΟ ΘΕΟΣ ΚΥΡΙΟΣ...

Ἦχος ἀ Πα

Ἰωάννου Πρωτοψάλτου




Στιχ. α: Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (τὸ ὡς ἄνω)

Στιχ. β: Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στιχ. γ: Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (τὸ ὡς ἄνω)

# ΑΠΟΛΥΤΙΚΙΟΝ.

## Μέλος Γεωργίου Σύρκα.

Ἦχος Πα

Ο υ λη βρι ας τον γο νον και Αι γι νης τον ε

φο ρον τον ε σχα τοις χρο ο νοις φα νε εν τα α ρε

τη ης φι λον γνη σι ον Νε κτα ρι ον τι μη σω μεν

πι στοι ως εν θε ον θε ρα πον τα Χριστȣ α να

βλυ ζει γαρ ι α α σεις παν το δα πας τοις ευ λα

βως κραυ γα ζȣ σιν δο ο ξα τω σε δο ξα σαν τι Χρι

στω δο ο ξα τω σε ε θαυ μα στω σαν τι δο

ο ξα τω ε νερ γȣν τι δι α σȣ πα σιν ι ι α α

μα α τα α α α α



## Ἕτερον Ἀθανασίου Καραμάνη.

Ἦχος δ̈ Βου




## Ἕτερον Στιχηραρικόν
## ἐκ τοῦ Βατοπαιδινοῦ Δοξαστικαρίου.

Ἦχος δ̈ Πα




η ης φι ι λο ρ ον γνη η σι ι ο ον Νε
χτα ρι ι ον τι μη η σω μεν πι ι στοι ω ως
ε εν θε ε ον θε ρα α πον τα Χρι ι στω
γ α να βλυ υ ζει ει γα αρ ι ι α α
α σεις πα αν το δα α πα ας τοις ε ε ευ
λα βω ως χρα α αυ γα α ζω γ σι ιν
δο ο ξα τω σε δο ξα α σαν τι Χρι ι
στω δο ο ο ξα τω σε ε ε θαυ μα α στω
ω σαν τι ι δο ο ο ο ξα τω ε νερ
γων τι ι δι α α σω γ γ γ γ πα
α σι ιν ι ι α α α α μα α α α
τα

## Καθίσματα

### Μετὰ τὴν α' Στιχολογίαν

### Τὸν τάφον σου Σωτήρ

### ἦχος α'

Ὡς ἥλιος λαμπρός, ἐν ἐσχάτοις τοῖς χρόνοις, ἀνέτειλας ἡμῖν, τῇ ὁσίᾳ ζωῇ σου, Νεκτάριε ὅσιε, καὶ πρὸς δόξαν καὶ αἴνεσιν, πάντας ἤγειρας, Χριστοῦ τοῦ πάντων Δεσπότου, τοῦ σὲ δείξαντος, δεδοξασμένον σε πάτερ, θαυμάτων δυνάμεσι.

### Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἰάσεις δαψιλεῖς, καθ' ἑκάστην ἡμέραν, πηγάζει θαυμαστῶς, θεϊκῇ χορηγίᾳ, ἡ πάντιμος κάρα σου, μυστικῶς κατευφραίνουσα, τῇ τοῦ Πνεύματος, μυρεψικῇ εὐωδίᾳ, τοὺς προστρέχοντας, μέτ' εὐλαβείας καὶ πόθου, τῇ σῇ μονῇ ἅγιε.

### Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Αἱμάτων ἐξ ἀγνῶν, τὸν Δεσπότην τῶν ὅλων, τεκοῦσα καὶ ὃ ἦν, μὴ τραπέντα μηδόλως, παρθένος διέμεινας, μετὰ τόκον καὶ ἄφραστον· ὅθεν ἅπαντες, τὰ μεγαλεῖά σου κόρη, μεγαλύνομεν, καὶ τῇ θερμῇ σου πρεσβείᾳ, σωθῆναι ἐλπίζομεν.

### Μετὰ τὴν β' Στιχολογίαν

### Τὴν ὡραιότητα

### ἦχος γ'

Τὴν καθαρότητα, τῆς πολιτείας σου, καὶ τὴν εὐθύτητα, πάτερ τῶν τρόπων σου, ὡς προσφορὰν πνευματικήν, δεξάμενος ὁ Δεσπότης, ἰαμάτων κρήνην σε, ἐν Αἰγίνῃ ἀνέδειξε, τοῖς πιστῶς προστρέχουσι, τοῖς ἁγίοις λειψάνοις σου, τοῖς νέμουσιν ὀσμὴν οὐρανίαν, πᾶσι καὶ θείαν εὐωδίαν.

Κατεπλάγη Ἰωσὴφ
ἦχος δ'
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καταπλήττει ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, ἡ δοθεῖσα σοι σοφέ, θαυμάτων χάρις ἐκ Θεοῦ, ἡ ἐν τοῖς θείοις λειψάνοις σου ἐνεργουμένη. Ὅθεν τῇ μονῇ, τῇ σῇ συρρέουσι, πλήθη εὐσεβῶν ἐκ πάσης τάξεως, καὶ οἱ νοσοῦντες ὑγείαν λαμβάνουσι, τῇ ἀντιλήψει σου ἅγιε, ἐν εὐφροσύνῃ, Χριστὸν ὑμνοῦντες, τὸν ἁγιάσαντά σε ὅσιε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὁ τῶν ὅλων συνοχεύς, καὶ τῶν αἰώνων ποιητής, συνεσχέθη ὑπὲρ νοῦν, ὅλος τῇ θείᾳ σου γαστρί, μὴ ἀποστὰς τῆς πατρικῆς μονῆς ἄχραντε, διπλοῦς δὲ ἐκ τῆς σῆς, μήτρας προέδραμεν, ἄνθρωπος ὁμοῦ, καὶ Θεὸς τέλειος, καὶ τοῦ Ἀδὰμ τὴν φύσιν ἐθέωσε, καὶ πάντα κόσμον διέσωσεν. Αὐτὸν δυσώπει, Θεογεννῆτορ, σωθῆναι τὰς ψυχάς ἡμῶν.

## Κάθισμα

Τὴν Σοφίαν καὶ Λόγον
ἦχος πλ.δ'

Ὀρθοδόξων δογμάτων ἑρμηνευτής, διδαχῶν θεοφθόγγων ὑφηγητής, δεικνύμενος ὅσιε, ἱεράρχης ὡς ἔνθεος, τῶν εὐσεβῶν ῥυθμίζεις, ἐνθέως τὸ φρόνημα, πρὸς θεϊκὴν ἀγάπην, καὶ τρίβον σωτήριον. Ὅθεν ἐν Αἰγίνῃ, θεοφρόνως ἐγείρεις, μονὴν σεπτὴν ὅσιε, εἰς ψυχῶν περιποίησιν, θεοφόρε Νεκτάριε ἐν ᾗ μοναζουσῶν ἡ πληθύς, τὰ σεπτά σου προσκυνοῦσα λείψανα, εὐλαβῶς ἑορτάζει, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Μανναδόχον σε στάμνον καὶ λογικήν, φωτοφόρον λυχνίαν καὶ θεαυγῆ, ὁ Θεῖος Νεκτάριος, ἐπιστάμενος ἄχραντε, ταῖς σαῖς φωταγωγίαις, ψυχὴν καὶ διάνοιαν, ὡς ἀρετῆς ἐργάτης, ἀξίως πεφώτισται· ὅθεν σε παρθένον, ἐν ταὐτῷ καὶ μητέρα, Χριστοῦ πανακήρατον, ὀρθοδόξως ἐκήρυξε, Θεοτόκε πανύμνητε. Καὶ νῦν τῆς τοῦ Υἱοῦ σου Ἁγνή, ἀπολαύων ὑπὲρ νοῦν ἐλλάμψεως, σὺν ἀγγέλοις δοξάζει, τὴν ἄρρητον δόξαν σου.

## ΤΟ Α' ΑΝΤΙΦΩΝΟΝ ΤΟΥ Δ' ΗΧΟΥ

### Πέτρου Πελοποννησίου




σθε ε ε ε α πε ε ξη ρα α α με ε ε
νοι οι
(δις)
ο ξα Πα τρι χαι Υι ω ω χαι Α γι ω Πνευ
μα α τι ι
γι ω Πνε ευ μα τι πα α α σα ψυ υ χη
η ζω ω ϑ ϑ ϑ ται αι χαι αι αι αι χα θαρ σει υ υ
ψϑ ται αι λαμ πρυ υ υ υ νε ε ε ται αι
τη η Τρι α δι χη η Μο να α α δι ι ι ι
ι ε ε ρο χρυ υ υ φι ι ι ω ως
αι νυν χαι α ει ει χαι εις τϑς αι ω νας
των αι ω νων α α μη ην
γι ω Πνε ευ μα τι α να βλυ υ υ
ζει ται τη ης χα α α ρι το ο ος ρει ει




# ΠΡΟΚΕΙΜΕΝΟΝ

πρωτ. Κωνσταντίνου Παπαγιάννη

Ἦχος λ γ τος




Οἱ ἱερεῖς σοι Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σοι ἀγαλλιάσονται.



# ΕΙΣ ΤΟ Ν' ΨΑΛΜΟΝ

## Γεωργίου Ραιδεστηνοῦ.

Ἦχος Δι



## Ἰωάννου Ἀρβανίτου

### Ἦχος λ π Πα

**Στίχος:** Ἐλεῆμον ἐλέησόν με ὁ θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.






## Ἀθανασίου Καραμάνη.

## Ἦχος λ π Πα






## Δημοσθένους Παϊκόπουλου

### Ἦχος λ π Πα




της α α ρε ε της πε ρα α α νας δρο ο ο
μον την προς ου ου ρα α νον πο ρει αν ε
ε ε ποι η η η σα α α α το χαι εν
ταις των Α γι ι ι ι ι ων λαμ προ τη σι
ι ι σχη η η νω ω ω ω σας α να χε χα
λυμμε ε νω ως τα α ας τρυ υ φα α ας του
ξυ υ λουου ου τη ης ζω ω ω ης της
με γα λο ο πρε ε που ους δο ο ο ο ο
ξη ης τας ελ λα αμ ψει ει εις δε χο ο ο ο
ο με ε ε ε νος η μι ιν δε
ε ξαι τει ει ει ει ει ται χιν δυ υ υ νων
α α πα α αλ λα α γην χαι ει ρη η
νη η ην στα α θη η η ραν χαι αι με



# ΚΑΝΟΝΕΣ

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ α'

## ἦχος α'

«ὨΙδὴν ἐπινίκιον, ᾄσωμεν πάντες, θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ ὅτι δεδόξασται.» (β')

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Χαρίτων τὴν ἄβυσσον σαρκὶ τεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν, χάριν μοι δώρησαι, τοῖς χείλεσί μου ἁγνή, ὅπως ὑμνήσω εὐσεβῶς, τὰ μεγαλεῖα σου.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἀνήροτος ἄρουρα, Παρθένε ὤφθης, ἀσπόρως βλαστήσασα, ζωῆς τὸν πρύτανιν, τὸν ἐκ τῆς πάλαι φθορᾶς, ζωοποιήσαντα ἡμᾶς, ὅτι δεδόξασται.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ῥημάτων αἰνίγματα, προφητοφθόγγων, ἐν σοὶ πέρας ἔλαβον, Παρθένε ἄχραντε σὺ γὰρ τεκοῦσα Χριστόν, τύπους τοῦ νόμου καὶ σκιάς, σαφῶς ἐπλήρωσας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνθήσασαν ῥάβδον σε, ὁ Ἡσαΐας, Παρθένε προέγραψεν, ἐν θείῳ Πνεύματι· σὺ γὰρ Χριστὸν τὸν Θεόν, οἷά περ ἄνθος μυστικόν, ἀφράστως ἤνθησας.

Κανὼν α' τοῦ ἁγίου, ᾠδὴ α'
Ἦδὴν ἐπινίκιον
ἦχος α'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοός μου τὴν ζόφωσιν, τῶν πρεσβειῶν σου, φωτὶ διασκέδασον, καὶ λόγον δίδου μοι, ὡς ἂν ὑμνήσω φαιδρῶς, Νεκτάριε θαυματουργέ, τὴν θείαν μνήμην σου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐσχάτοις ἐν ἔτεσιν, ἐξανατείλας, ὡς ἥλιος ἄδυτος, φωτὶ τῶν ἔργων σου, εὐαγγελίου τὸ φῶς, ἐκφαίνεις πάτερ θαυμαστῶς, πᾶσι τοῖς πέρασι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κατ' ἴχνος Νεκτάριε, ἀκολουθήσας, ζωῆς καθαρότητι, τοῖς πάλαι ὅσιε, ἀρχιερεῦσι Χριστοῦ, ἴσος εὐκλείας τῆς αὐτῶν, ὤφθης καὶ μέτοχος.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὴν φύσιν τὴν ἄστεκτον, ἐν τῇ γαστρί σου, ἀφλέκτως βαστάσασα, σαρκὶ γεγέννηκας, δίχα τροπῆς καὶ φυρμοῦ, Χριστὸν τὸν πάντων ποιητήν, Παρθένε ἄχραντε.

## Κανὼν β' τοῦ ἁγίου, ᾠδὴ α'
## Ἀνοίξω τὸ στόμα μου
## ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ναμάτων τοῦ Πνεύματος, ἐμφορηθεὶς βίῳ κρείττονι, τὸ νέκταρ τῆς χάριτος, ἤδη ἀνέβλυσας, καὶ κατηύφρανας, ἡμῶν τὰς διανοίας, Νεκτάριε ὅσιε, τοῖς σοῖς χαρίσμασι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἑόρτιον αἴνεσιν, ἀγαλλομένη προσᾴδει σοι, καὶ νέαν πανήγυριν, κροτεῖ σοι ἅγιε, ἡ ὀρθόδοξος, ἁγία Ἐκκλησία, τῇ σῇ ἁγιότητι, ἐχθροὺς αἰσχύνουσα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κοσμήσας τὸν βίον σου, ἀπο νεότητος ὅσιε, ἠθῶν τῇ σεμνότητι, τῆς ἀρετῆς ἐραστής, ὤφθης γνήσιος, καὶ τῆς σοφίας μύστης, ἐνθέῳ φρονήματι, πάτερ Νεκτάριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὴν πάντων βασίλισσαν, καὶ ἀειπάρθενον Δέσποιναν, ὑμνῶν θείοις λόγοις σου, ἐκ ταύτης ἔλαβες, σθένος ἄμαχον, καὶ πειρασμῶν ἐφόδους, ἐν βίῳ ὑπέμεινας, ἀνδρείως ἅγιε.

## Κανὼν τῆς Θεοτόκου, ᾠδὴ γ'
## ἦχος α'

«Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστε ὁ Θεός, ὁ ἐφ' ὑδάτων οὐρανῶν, στερέωσας τὸν δεύτερον, καὶ δράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντοδύναμε.» (Β')

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σκηνὴ τοῦ Λόγου ἡ ἀμόλυντος, τὸ τῆς θείας δόξης ἁγίασμα, ὁ οὐρανὸς ὁ λογικός, ἐξ οὗ κόσμῳ ἀνέτειλεν ὁ ζωῆς ἄδυτος ἥλιος, Θεοτόκος ὑμνείσθω μοι.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νόμους τῆς φύσεως διέλαθες, καὶ τὸν νομοδότην καὶ Κύριον, δίχα φθορᾶς τε καὶ φυρμοῦ, Θεοτόκε ἐκύησας, ζωῆς νέας ἐγκαινίζοντα, τοὺς νόμους ἐν Πνεύματι.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὄρος ἐδείχθης ἀλατόμητον, καὶ δασὺ καὶ πῖον ἐν Πνεύματι, ἐξ οὗ ἐπέφανεν ἡμῖν, ὁ ἁπτόμενος Δέσποινα, τῶν ὀρέων καὶ καπνίζονται, ὡς φησὶ Δαβὶδ ὁ δίκαιος.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ κιβωτὸς τοῦ ἁγιάσματος, τὸ θεοπρεπὲς ἱλαστήριον, τῆς εὐδοκίας τοῦ Θεοῦ, ὁ εὐώδης παράδεισος, ἀνυμνείσθω θείοις ᾄσμασιν, ἡ Παρθένος καὶ Δέσποινα.

## Κανὼν α' τοῦ ἁγίου, ᾠδὴ γ'
## Στερεωθήτω ἡ καρδία μου
## ἦχος α'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀγάπῃ θείᾳ ἐκ νεότητος, πάτερ, ἱερῶς στοιχειούμενος, ἀκολουθῆσαι τῷ Χριστῷ ᾑρετίσω Νεκτάριε, καὶ ἐκ πάσης ματαιότητος, ἐμφρόνως ἐμάκρυνας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥήσεσι πάτερ τῶν χειλέων σου, στάζεις γλυκασμὸν τὸν οὐράνιον, ἐν ταῖς καρδίαις τῶν πιστῶς, δεχομένων τὸν λόγον σου, καὶ παιδεύεις πρὸς τὰ κρείττονα, πιστῶν τὴν διάνοιαν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱεραρχῶν νέον ἀγλάϊσμα, ὤφθης ἱεράρχα Νεκτάριε, ἁγιωσύνην ἀληθῆ, ἐνδυσάμενος Ὅσιε, πολιτείας καθαρότητι διὸ εὐφημοῦμέν σε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡραϊσμένη ὑπὲρ ἔννοιαν, ταῖς τῆς παρθενίας λαμπρότησι, τίκτεις Θεὸν ὑπερφυῶς, μετὰ σώματος ἄχραντε, καὶ τῆς Εὔας τὸ κατάκριμα, ἐν τῷ τόκῳ σου ἔλυσας.

## Κανὼν β' τοῦ ἁγίου, ᾠδὴ γ'
## Τοὺς σοὺς ὑμνολόγους
## ἦχος δ'

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγίων σοφῶς ἰχνηλατήσας, τους τρόπους καὶ πράξεις τὰς ἁγνάς, τὸν νοῦν σου καθηγίασας, ἐν πάσῃ ὁσιότητι, Νεκτάριε μακάριε, καὶ τὴν καρδίαν ἐκάθηρας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ραντίσματι ὕδατος τοῦ θείου, τὴν βλάβην τῶν δένδρων καὶ φυτῶν, ἀπήλασας Νεκτάριε, καὶ πλοῦτος θείας χάριτος, τοῖς Αἰγινήταις πέφηνας, θαυμαστωθεὶς θείῳ Πνεύματι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ζωὴν τὴν ἡσύχιον ποθήσας, μονὴν ᾠκοδόμησας σεπτήν, ἐν τῇ Αἰγίνῃ ὅσιε, καὶ τύπος θείων πράξεων, ἐν ταύτῃ ἐχρημάτισας, ταῖς μοναζούσαις Νεκτάριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς Μήτηρ Θεοῦ τοῦ φιλανθρώπου, σπλαγχνίσθητι κόρη ἐπ' ἐμοί, καὶ ἴασαι τὸν καύσωνα, τὸν τῆς ψυχῆς μου δέομαι, τῇ δρόσῳ τῆς σῆς χάριτος, ἵνα σωθεὶς μεγαλύνω σε.

## Κάθισμα

Τὸν συνάναρχον

ἦχος πλ.α'

Ἀρετῆς διανύσας τὸν δρόμον ὅσιε, θεοπρεπῶς μετετέθης πρὸς τὴν ἀήρω ζωήν, καὶ ἁγίων κοινωνὸς ὤφθης Νεκτάριε, μεθ' ὧν πρέσβευε ἀεί, τῷ παντάνακτι Χριστῷ, δοθῆναι πταισμάτων λύσιν, καὶ ψυχικὴν σωτηρίαν, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὴν ὑπέρτιμον στάμνον καὶ θεοχώρητον, τὴν ἀειπαρθένον κόρην καὶ Θεοτόκον ἁγνήν, ἀνυμνήσωμεν πιστοὶ καὶ μεγαλύνωμεν, ὅτι ἐρρύσατο ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς, τεκοῦσα ἀπειρογάμως, τὸν ὑπερούσιον Λόγον, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

## Κοντάκιον τοῦ Ἱεράρχου

Τῇ ὑπερμάχῳ

ἦχος πλ.δ'

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον
Καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα
Ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ·
Δοξασθεὶς γὰρ ἐνεργείᾳ τῇ τοῦ Πνεύματος
Ἰαμάτων ἀναβλύζει χάριν ἄφθονον
Τοῖς κραυγάζουσι· χαίροις πάτερ Νεκτάριε.

## Οἶκος

Ἄνθρωπος οὐρανόφρων, ἀνεδείχθης ἐν κόσμῳ,
Νεκτάριε Χριστοῦ ἱεράρχα· ζωὴν γὰρ ὁσίαν
διελθών, ἀκέραιος ὅσιος καὶ θεόληπτος, ἐν πᾶσιν
ἐχρημάτισας ἐντεῦθεν παρ' ἡμῶν ἀκούεις·
Χαῖρε δι' οὗ οἱ πιστοὶ ὑψοῦνται·
χαῖρε δι' οὗ οἱ ἐχθροὶ θαμβοῦνται.
Χαῖρε τῶν ὁσίων πατέρων ἐφάμιλλος·
χαῖρε ὀρθοδόξων ὁ θεῖος διδάσκαλος.
Χαῖρε οἶκος ἁγιώτατος ἐνεργείας θεϊκῆς·
χαῖρε βίβλος θεοτύπωτος πολιτείας τῆς καινῆς.
Χαῖρε ὅτι ἀρτίως ἡμιλλήθης ἁγίοις·
χαῖρε ὅτι ἐμφρόνως ἐχωρίσθης τῆς ὕλης.
Χαῖρε λαμπρὸν τῆς πίστεως τρόπαιον·
χαῖρε σεπτὸν τῆς χάριτος ὄργανον.
Χαῖρε δι' οὗ Ἐκκλησία χορεύει·
χαῖρε δι' οὗ νῆσος Αἴγινα χαίρει·
Χαίροις πάτερ Νεκτάριε.

## Συναξάριον

Τῇ θ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νεκταρίου μητροπολίτου Πενταπόλεως τῆς ἐν Αἰγύπτῳ, τοῦ θαυματουργοῦ, τοῦ καὶ κτίτορος τῆς ἐν Αἰγίνῃ ἱερᾶς μονῆς τῆς Ἁγίας Τριάδος τῶν μοναζουσῶν, κοιμηθέντος ὁσίως κατὰ τὸ ἔτος ,αϡκ' (1920).

*Νέκταρ τῆς ζωῆς τῆς αἰωνίου πίνων,*
*Μᾶμα Νεκτάριε, ἰάσεων βλύζεις.*
*Ἀμφ' ἑνάτῃ Νεκταρίῳ ἐκ ῥεθέων θυμὸς ἤρθη.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου.**

*Ἵπποις πρὸς θεὸν Ὀνησιφόρε τρέχων*
*ἔχεις συνιππεύοντα καὶ τὸν οἰκέτην.*
*Νύσσης οὐρανίης ἐπέβητ' ἐνάτῃ ᾧ ἀθληταί.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῖς ὁσίας μητρὸς ἡμῶν Ματρώνης.**

*Ζωῆς μελλούσης ἀξιοῦται Ματρῶνα,*
*Ὡς ἐν βίῳ ξήσασα ταύτης ἀξίως.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας.**

*Λέσβου τὸ θρέμμα, παρθένος Θεοκτίστη,*
*Κτίστῃ Θεῷ πρόσεισι νύμφη παγκάλη.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων γυναικῶν, Εὐστολίας καὶ Σωπάτρας.**

*Ὅλη καλὴ σὺ πρὸς Θεὸν χωρεῖς Λόγον,*
*Στολαῖς σταλεῖσα ψυχικαῖς Εὐστολία.*
*Σωπάτρα Πατρὸς Πνεύματός τε καὶ Λόγου,*
*Θρόνῳ παρέστη, δοῦσα γῇ τὸ σαρκίον.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ἀντωνίου.**

*Ἀντώνιον κτείνουσι τὸν θεῖον ξύλοις,*
*Οἱ τὸ ξύλον τιμῶντες ὡς θεὸν πλάνοι.*

**Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Χριστοφόρος καὶ Μαῦρα ξίφει τελειοῦνται.**

*Πλάνην ἀμαυροῖ Μαῦρα καρθεῖσα ξίφει.*
*Χριστοῦ δὲ τμηθεὶς φῶς ὁρᾷ Χριστοφόρος.*

**Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι Ναρσῆς καὶ Ἀρτέμων ξίφει τελειοῦνται.**

*Ναρσῆς σὺν Ἀρτέμονι ἐκκοπεὶς ξίφει,*
*Σὺν Ἀρτέμονι λαμβάνει καὶ τὰ στέφη.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἰωάννης, ὁ διὰ τὸ βραχὺ τῆς ἡλικίας (ἀναστήματος) ὀνομασθεὶς Κολοβὸς, ἐν εἰρήνῃ τελειοῦται.**

*Ἰωάννην ἔκρυψε γῆς βραχὺς τόπος,*
*Ὃς, κἂν βραχὺς τὸ σῶμα, τὴν πρᾶξιν μέγας.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Ἑλλάδιος ἐν εἰρήνῃ τελειοῦται.**

*Εἰ καὶ μετέστης, Ἑλλάδιε, τοῦ βίου,*
*Πίναξ ἔμεινας ἀρετῶν τοῖς ἐν βίῳ.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος πατὴρ ἡμῶν Συμεὼν ὁ Μεταφραστὴς ἐν εἰρήνῃ τελειοῦται.**

*Ἐκκλησία σοι Συμεών, ὄφλει χάριν,*
*Ὑπὲρ μεταφράσεως Ἁγίων βίων.*

**Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ὅσιοι καὶ θεοφόροι πατέρες ἡμῶν Εὐθύμιος καὶ Νεόφυτος, οἱ κτίτορες τῆς σεβασμίας μονῆς τοῦ Δοχειαρίου, ἐν εἰρήνῃ τελειοῦνται.**

*Εὐθύμιον συνάμα τῷ Νεοφύτῳ,*
*Τιμῶ, κτίσαντας τὴν μονὴν Ἀρχαγγέλων.*

**Ταῖς τῶν ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

# Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

## Θρασύβουλου Σταΐτσα

Ἦχος Δι




## Βασιλείου Νικολαΐδη

Ἦχος Δι






# ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

## Πέτρου Βυζαντίου

### Ἦχος δ

### Ὠδὴ α – Χορὸς α'




Ἀπὸ 7ης μέχρι 20ῆς Νοεμβρίου: ταύτης την εισοδον.

### Ὠδὴ γ – Χορὸς β'




Ἀπὸ 7ης μέχρι 20ῆς Νοεμβρίου: κἂν τῇ σεπτῇ εἰσόδῳ σου.

## Ὠδή δ – Χορός β'




## Ὠδή ε – Χορός α'

Ἀπὸ 7ης μέχρι 20ῆς Νοεμβρίου...




## Ὠδή ς – Χορός β'






## Ὠδὴ ξ – Χορός α'




## Ὠδὴ η' – Χορός β'






# ΤΙΜΙΩΤΕΡΑΙ ΣΥΝΤΟΜΑΙ

## Ἰωάννου Πρωτοψάλτου

## Ἦχος λ τος

**Χορός α'.** Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

**Χορός β'.** Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

**Χορός α'.** Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

**Χορός β'.** Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

**Χορός α'.** Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

**Χορός β'.** Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.


Τ ην τι μι ω τε ραν των Χε ρου βιμ χαι εν
δο ξο τε ραν α συγ χρι τως των Σε ρα φιμ
την α δι α φθο ο ρως Θε ον Λο γον τε χου σαν
την ον τως Θε ο το χον σε με γα λυ νο
μεν
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ χαι εν
δο ξο τε ραν α συγ χρι τως των Σε ρα φιμ την α
δι α φθο ρως Θε ον Λο γον τε χου ου ου σαν
την ον τως Θε ο το χον σε με γα λυ νο
μεν

## Ὠδὴ θ' – Χορός α'


Α πας γη γε νης σκιρ τα τω τω πνευ μα τι λαμ πα α
δου χου με νος πα νη γυ ρι ζε τω δε α υ λων νο




Ἀπὸ 7ης μέχρι τῆς 21ης Νοεμβρίου : τά ἱερά εἰσόδια.

# ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

## Ὁ οὐρανὸν τοῖς ἄστροις

## ἦχος γ'

Ἡ Ἐκκλησία ἀγάλλου, καὶ ᾄδε ᾄσματα καινά, τὸν σὸν υἱὸν εὐφημοῦσα καὶ ἱερὸν νυμφαγωγόν, Νεκτάριον τὸν ἀρτίως, ἡγιασμένον φανέντα.

Θεοπρεπῶς βιώσας, ἐμεγαλύνθης θαυμαστῶς, Νεκτάριε ἱεράρχα, παρὰ τοῦ πάντων ποιητοῦ· πηγὴ θαυμάτων γὰρ ὤφθη, ἡ τῶν λειψάνων σου θήκη.

## Θεοτοκίον

Θεοχαρίτωτε κόρη, ἱκέτευε διὰ παντός, τὸν σὸν Υἱὸν καὶ Δεσπότην, καὶ πολυεύσπλαγχνον Θεόν, πάσης ἀνάγκης, τοὺς εὐσεβεῖς Θεοτόκε.

# ΠΑΣΑΠΝΟΑΡΙΑ

## Ἰωάννου Τραπεζουντίου τοῦ Πρωτοψάλτου

### Ἦχος ἀ Πα



# "ΤΟΝ ΔΕΣΠΟΤΗΝ ΚΑΙ ΑΡΧΙΕΡΕΑ".

## Μέλος Ἀρχαῖον

## Ἐξήγ. Γρηγορίου Πρωτοψάλτου

### Ἦχος Ζω




υ υ υ υ υ υ υ υ υ υ υ υ υ λα
α α φυ υ λα α ατ τε ει ει ει ει ει
ει εις πο ο ολ λα α α α ηα α α α α
α α α α α α ηα α α α α α α ε ε
ιε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ιε ε ε τη η Δε ε ε ε ε ε ε ε ε
ε ε ε ε σπο ο ο Δε ε σπο ο ο τα
α α α α α α α α α α α α α α α
α α α α α α α α α α α α α α α
α α α α α α α

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ .ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ.

Τῶν οὐρανίων ταγμάτων

ἦχος α'

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀσματικῶς συνελθόντες πανηγυρίσωμεν, τὴν μνήμην τὴν ἁγίαν, Νεκταρίου τοῦ θείου, τοῦ ἄρτι δοξασθέντος παρὰ Χριστοῦ, τῇ τοῦ βίου λαμπρότητι, τῶν ἰαμάτων ταῖς χάρισι θαυμαστῶς, εὐσεβῶν εἰς περιποίησιν.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἡ τῶν λειψάνων σου θήκη πάτερ Νεκτάριε, ὡς ἄλλη καθορᾶται, Σιλωὰμ κολυμβήθρα νοσήματα γὰρ παύει τὰ χαλεπά, καὶ ὑγείαν καὶ λύτρωσιν, τοῖς πρὸς αὐτὴν προσιοῦσι νέμει ἀεί, ἐνεργείᾳ τῇ τοῦ Πνεύματος.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τὶς ἐπαξίως ὑμνήσει τὰς δυναστείας σου, ὦ ζωοδότα Σῶτερ; ὅτι δέδωκας ἤδη, στῦλον καὶ ἑδραίωμα ἀρραγές, τῇ σεπτῇ Ἐκκλησίᾳ σου, τὸν θεηγόρον Νεκτάριον ἀληθῶς, τὸν ὁσίως σοι λατρεύσαντα.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὑπὲρ ὀσμὴν ἀγροῦ πλήρους κατὰ τὴν θείαν φωνήν, ἡ εὐωδία πέλει τῶν σεπτῶν σου λειψάνων, Νεκτάριε τρισμάκαρ τῶν εὐσεβῶν, τὰς αἰσθήσεις εὐφραίνουσα· ὅθεν ἡ Αἴγινα βλέπουσα τὴν ἐν σοί, θείαν χάριν μακαρίζει σε.

## Ἰωάννου Πρωτοψάλτου

Ἦχος Πα

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.






Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.






Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.



Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.



# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ. ΔΟΞΑΣΤΙΚΟΝ.

## Δημοσθένους Παϊκόπουλου

### Ἦχος λ π ϕ Πα




στο τη τα ε ποι η η σα ας χαι ο σι ο
τη τα η η ημ φι ι α α α α σω ως Ι
ε ρα αρ χη ης θε ε ε ε ο ο ο
ο ο σο ο ο ο φος χαι της α ρε ε ε τη η
η η ης α λη η θη ης ε ε ερ γα
α α α της ο θεν λαμ πρως πα ρα Θε ου
ου ε ε δο ξα α α α α α α α α α
α α α α σθη η η ης χαι ι ι α α
μα τω ων χρη η η η νη η η των λει
ψα α νω ων σου σο ο ρο ος ε ε ε δει
ει ει ει χθη τη του Πα ρα χλη η η η η η
του ε πι ι σχι ι ι α α α α α α α
α α σει αλλ ω ω ω Νε χτα α α α




## Ἰωάννου Ἀρβανίτου.

### Ἦχος λ π ϙ Πα




Ο
ο σι ι ι ι ε ε Πα α α τε ερ με
λε ε την θει ϫ ϫ νο ο ο ο μϫ το ον
βι ον ποι ϫ ϫ ϫ ϫ με ε ε ε νος των
πα λαι α α γι ι ι ων τη ζω ην ε χα ρα α
χτη η η η ρι ι ι ι σας το γαρ φρο νη η
μα της σα αρ χος υ πο τα α ξας τω πνευ μα α
τι χρη στο ο ο τη τα ε ποι οι οι οι
η η η η σας χαι ο σι ο τη τα ημ φι ι
α α σω ως Ι ε ραρ χης θε ε ο σο ο
φο ος χαι της α ρε τη η ης α α λη θης
ερ γα α α α της ο ο ο ο θεν λα αμ
πρω ω ως πα ρα Θε ε ϫ ϫ ϫ ϫ ε ε
δο ξα α α α σθης χαι ι α μα α α




## Ἀθανασίου Καραμάνη.

## Ἦχος λ π ἡ Πα




α τι
Ο σι ι ε ε ε Πα α α α τερ με λε
την θει ει ϫ ϫ νο ο μϫ τον βι ι ον ποι οι ϫ ϫ
ϫ ϫ με ε ε ε νος των πα λαι Α α
γι ι ι ι ι ω ων την ζω ω η ην ε χα
α ρα α χτη η η ρι ι ι ι σας το γαρ φρο
νη μα α α τη ης σα αρ χος υ πο τα α
ξας τω ω πνε ε ε ε ευ μα α α α τι χρη
στο τη τα ε ποι η η σα ας χαι ο σι ο
τη τα ημ φι ι α α α σω ως Ι ε ρα αρ
χη ης θε ο ο ο ο ο σο ο ο ο φος
χαι της α ρε ε τη η η η ης α λη η
θη ης ε ε ερ γα α α α της ο θεν λα αμ

# ΤΗ Θ' ΝΟΕΜΒΡΙΟΥ - ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ



## Θεοφάνους ἱερομονάχου Βατοπαιδινοῦ

### Ἦχος λ π ϊ Πα




η τα α α η ημ φι ι ι α α α α α
σω ως ι ε ρα αρ χης θε ο ο σο ο
φος χαι τη ης α α ρε τη ης ε ε ερ γα
α α α α της ο ο ο ο θεν λα αμ πρως
πα ρα Θε ϫ ϫ ϫ ε ε δο ο ο ξα α
α α α σθης χαι ι α μα α α α των χρη
η νη η η των λει φα νω ων σϫ σο ο ρο ος ε
ε δει ει ει χθη τη τϫ Πα ρα χλη η η τϫ ϫ ε
πι ι σχι ι ι α α α α α σει αλλ ω ω
ω ω ω. Νε χτα α α α α α ρι
ι ι ι ε ε μα α χα α α ρι ι ι
ι ηι ι ι ι ε ρα α α νον εν ταις ευ
χαις η η μων το νε χτα αρ τη ης χα α α α


α ρι ι ι ι ι τος καιαι πρε σβε ευ ε ε ε
τω ω Κυ υ υ ρι ι ι ι ι ω δο ο θη η
η ναι η η μι ιν το με ε ε γα ε ε ε
ε ε ε λε ος

## Κωνσταντίνου Παπαγιάννη
## Πρωτοπρεσβυτέρου.

### Ἦχος λ π ϙ Πα


Δ ο ο ο ο ξα α Πα τρι ι ι ι και αι
Υι ω και Α γι ι ι ω ω ω Πνευ μα α
α τι
Ο σι ιε ε ε Πα α α τε ερ με λε
την θει ȣ νο μȣ τον βι ι ον ποι οι ȣ ȣ ȣ
με ε ε ε νος των πα λαι Α γι ω ων
την ζω ω ην ε χα ρα κτη η η ρι ι ι ι


σας το γαρ φρο νη η μα της σα αρ χος υ πο
τα α ξας τω ω πνε ε ευ μα α α α τι χρη
στο ο τη η τα ε ε ποι η η σα ας χαι
ο σι ο τη η τα ημ φι ι α α α α σω
ως ι ε ρ̀αρ χης θε ο ο σο ο φο ος χαι
της α ρε τη η ης α α λη θη ης ερ γα α α
α της ο ο ο ο θεν λα αμ πρως πα ρα Θε
ϑ ϑ ϑ ε ε δο ξα α α α σθης χαι ι α
μα α α α των χρη η νη η η των λει
ψα νων σϑ σο ρο ος ε ε δει ει χθη τη τϑ Πα ρα
χλη η η τϑ ϑ ε πι ι σχι α α α α σει
αλλ ω Νε χτα ρι ε μα α χα α α ρι
ι ι ι ι ι ι ι ι ε ρα α α νον εν




## Δοξολογία Σύντομη
## Τριανταφύλλου Γεωργιάδου.

### Ἦχος Πα




Κ
υ υ ρι ε Βα σι λευ ε πγ ρα νι
ε Θε ε Πα τερπαν το χρα α α α τορ Κυ ρι ε
υι ε μο νο γε νες Ι η σγ Χριστε και
Α γι ον Πνε ε ε ευ μα
Κ
υ υ ρι ε ο Θε ος ο α μνο ος
τγ Θε ε γ ο Υι ο ος τγ Πα τρος ο αι
αι αι ρων την α μαρ τι ι αν τγ χο ο ο σμγ ε
λε η σον η μας ο αι αι ρων τας α μαρ
τι α ας τγ χο ο ο ο σμγ
Π
ροσ δε ξαι την δε η σιν η μων ο χα
θη με νος εχ δε ξι ω ων τγ Πα τρο ος χαι ε
λε η σον η η μας
Ο
τι συ ει μο νο ος Α γι ι ος συ ει


μο νο ος Κυ ρι ι ος I η σϫς Χριστοςεις
δο ο ο ξαν Θε ϫ Πατρος α α μην
αθ ε χα α στην η με ραν ευ λο γη
σω ω σε χαι αι νε α σω το ο νο μα α α
σϫ εις τον αι ω ω ω ω να χαι εις τον αι
ω να τϫ αι ω ω ω νος
α τα ξι ι ω σον Κυ ρι ι ε εν τη
η με ρα ταυ τη α να μαρ τη η η η τϫς
φυ λα χθη η ναι η η μας
υ λο γη τος ει Κυ ρι ι ε ο Θε
ος τωνΠα τε ε ρων η μων χαι αι νε τον χαι δε
δο ξα σμε ε ε νον το ο νο μα α σϫ εις τϫς
αι ω ω νας α α μην


ε ε νοι το Κυ ρι ι ε το ε λε ος σϑ
εφ η μας χαθ α α περ ηλ πι ι σα
μεν ε πι σε
υ λο γη το ος ει ει Κυ ρι ι ε ε ε ε
ε ε ε ε δι δα ξο ο ον με τα δι χαι
ω μα τα α α α σϑ (Δίς)
υ λο γη τος ει Κυ ρι ι ε ε ε ε
ε ε ε ε δι δα ξο ο ον με τα δι χαιαι
ω μα τα α α α σϑ
υ ρι ε χα τα φυ γη ε γεν νη η
θης η η μιν εν γε νε α χαι γε νε ε α
ε γω ει πα Κυ ρι ι ε ε λε η σο ο ον
με ι α σαι τη ην ψυ χη ην μϑ ο τι


η μαρ το ο ο ον σοι
Κ υ ρι ε προς σε χα τε φυ υ γον δι δα
ξον με τϗ ποι ειν το θε λη μα α α σϗ ο τι συ υ
ει ει ο Θε ο ο ο ος μϗ
Ο τι πα ρα σοι πη γη ζω ης εν τω
φω ω τι ι σϗ ο φο ο με θα φως
Π α ρα τει νον το ε λε ο ο ος σο τοις γι ι
νω σχϗ σι ι ι ι σε Α α γι ο ος ο
Θε ος Α α γι ος Ι σχυ ρος Α γι ος
Α α θα να τος ε ε λε η σον η η μας
Δ ο ξα Πα τρι ι χαι Υι ω χαι Α γι
ω Πνευ μα α τι
Κ αι νυ υν χαι α ει χαι εις τϗς αι


ω νασ τω ν αι ω ω νων α μην
γι ος Α α θα να τος ε ε λε η σο ον
η η μας
γι ι ο ο ο ος ο ο Θε ε ε ο
ο ο ος
γι ι ο ο ο ος Ι ι σχυ υ υ ρο
ο ο ος
γι ι ι ι ος Α α θα α α
να α α τος ε λε ε ε η η η
σο ον η η η η μα α α α α α α α
α α α ας

# Πέτρου Πελοποννησίου

## Ἦχος δ Πα




του χο σμου ε λε η σον η μας ο αι αι ρων τας
α μαρ τι ι ας του χο σμου
Π
ροσ δε ξαι την δε η σιν η μων ο χα θη με νος
εκ δε ξι ω ων του Πα τρος και ε λε η σον η μα
ας
Ο
τι συ ει μο νος α γι ος συ ει μο νος Κυ
ρι ος I η σους Χρι στος εις δο ο ξαν Θε ου
Πατρος α μην
Κ
αθ ε χα στην η με ραν ευ λο γη σω σε και αι
νε σω το ο νο μα σου εις τον αι ω να και
εις τον αι ω να του αι ω νος
Κ
α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα
τα αυ τη α να μαρ τη τους φυ λα χθη η ναι η μα


ας π q
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα
τε ρων η μων Δ ἡ και αι νε τον και δε δο ξα
σμε νον το ο νο μα σου εις τους αι ω ω νας α μη
ην π q
Γ ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η μας κα
θα περ ηλ πι ι σα μεν ε πι σε ε π q
Ε υ λο γη τος ει ει Κυ ρι ε ε ε ε ε ε
δι δα ξο ον με τα δι και ω μα τα σου π q (γ')
Κ υ ρι ε κα τα φυ γη ε γεν νη θης η μιν
εν γε νε α και γε νε α Δ ἡ ε γω ει πα Κυ ρι ε
ε λε η σον με ι α σαι την ψυ χην μου ο τι η μαρ
τον σοι π q

# ΤΗ Θ' ΝΟΕΜΒΡΙΟΥ - ΑΓΙΟΥ ΝΕΚΤΑΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ



Κ υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξον

με του ποι ειν το θε λη μα σου ο τι συ ει ο Θε

ος μου π q

Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι

σου ο ψο ο με θα φω ως π q

Π α ρα τει νον το ε λε ος σου ου τοις γι

νω σκου σι σε Δ Α γι ος ο Θε ος Δ Α

γι ος ι σχυ ρος Α γι ος α θα να τος ε λε η

σον η μα ας π q (γ')

Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα

τι Δ

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην Δ


γι ος α θα να τος ε λε η σον η μας
γι ι ος ο Θε ε ε ο ος
α γι ι ι ος ι σχυ υ υ ρο ος
α γι ο ος α α θα α να α α
τος ε λε ε ε η η η σο ον η η η
μα α α ας

# ΑΠΟΛΥΤΙΚΙΟΝ.

## Μέλος Γεωργίου Σύρκα.

Ἦχος Πα

